κεῖται, τό τ' ἔγχοc τήν τε δυcτυχεcτάτην
cτένων cτρατείαν ἣν ἔπεμψεν ἐκ δόμων·
ὅc μ' ἐξοτρύνει παῖδ' ἐμὸν πεῖcαι λιταῖc
νεκρῶν κομιcτὴν ἢ λόγοιcιν ἢ δορὸc
ῥώμηι γενέcθαι καὶ τάφου μεταίτιον,
κοινὸν τόδ' ἔργον προcτιθεὶc ἐμῶι τέκνωι
πόλει τ' Ἀθηνῶν. τυγχάνω δ' ὑπὲρ χθονὸc
ἀρότου προθύουc', ἐκ δόμων ἐλθοῦc' ἐμῶν
πρὸc τόνδε cηκόν, ἔνθα πρῶτα φαίνεται
φρίξαc ὑπὲρ γῆc τῆcδε κάρπιμοc cτάχυc.
δεcμὸν δ' ἄδεcμον τόνδ' ἔχουcα φυλλάδοc
μένω πρὸc ἁγναῖc ἐcχάραιc δυοῖν θεαῖν
Κόρηc τε καὶ Δήμητροc, οἰκτίρουcα μὲν
πολιὰc ἄπαιδαc τάcδε μητέραc τέκνων,
cέβουcα δ' ἱερὰ cτέμματ'. οἴχεται δέ μοι
κῆρυξ πρὸc ἄcτυ δεῦρο Θηcέα καλῶν,
ὡc ἢ τὸ τούτων λυπρὸν ἐξέληι χθονὸc
ἢ τάcδ' ἀνάγκαc ἱκεcίουc λύcηι, θεοὺc
ὅcιόν τι δράcαc· πάντα γὰρ δι' ἀρcένων
γυναιξὶ πράccειν εἰκὸc αἵτινεc cοφαί.

ΧΟΡΟC

ἱκετεύω cε, γεραιά, γεραιῶν ἐκ cτομάτων πρὸc [cτρ. α
γόνυ πίπτουcα τὸ cόν·
†ἄνομοι τέκνα λῦcαι φθιμένων νεκύων οἳ†
καταλείπουcι μέλη
θανάτωι λυcιμελεῖ θηρcὶν ὀρείοιcι βοράν·

ἐcιδοῦc' οἰκτρὰ μὲν ὄccων δάκρυ' ἀμφὶ βλεφάροιc, ῥυ- [ἀντ. α